Ἱερὰ Μονὴ Ἁγίων Κυπριανοῦ καὶ Ἰουστίνης
Δερβενάκια Κορινθίας

# ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ

τοῦ Ἱερομάρτυρος
καί Ἐπισκόπου Ἀντιοχείας τῆς ἐν Πισιδίᾳ,

# ΚΥΠΡΙΑΝΟΥ



καὶ τῆς Παρθενομάρτυρος

# ΙΟΥΣΤΙΝΗΣ

(2 Ὀκτωβρίου)

(ποιηθεῖσα ὑπὸ Γερασίμου μοναχοῦ Μικραγιαννανίτου)

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

**Ὅ**τε τὴν ἀπάτην τοῦ ἐχθροῦ, ἔγνωκας σοφῇ διανοίᾳ, Κυπριανὲ νουνεχῶς, τότε τῷ τῆς Χάριτος, φωτὶ προσέδραμες, καὶ Χριστὸν ἐνδυσάμενος, τοῦ Εὐαγγελίου, μύστης ἐνθεώτατος, ὤφθης ἐν Πνεύματι. Ὅθεν ὡς σοφὸν Ἱεράρχην, καὶ τῆς Ἐκκλησίας φωστῆρα, ὕμνοις ἱεροῖς σε μακαρίζομεν.

**Ὅ**τε τῇ δυνάμει τοῦ Χριστοῦ, ἤσχυνας ἐχθροῦ τὰς ἐφόδους, τελειοτάτῳ νοΐ, τότε ἐν τῇ νίκῃ σου, τὴν ἧτταν ἔγνω αὐτοῦ, Ἰουστίνα πανεύφημε, καὶ Χριστῷ προσῆλθε, πάντα ἀρνησάμενος, Κυπριανὸς ὁ σοφός. Ὅθεν ἀρετῶν ταῖς ἀκτῖσι, λάμψαντες ὁμοῦ ἐν τῷ κόσμῳ, ἄθλοις μαρτυρίου ἐδοξάσθητε.

**Χ**αίροις ὢ δυὰς πανευκλεής, τῆς Ὑπερουσίου Τριάδος, ἔμψυχα ὄργανα, ἄνθη εὐωδέστατα, τῆς Ἐκκλησίας Χριστοῦ, ἱερέων ἀγλάϊσμα, Κυπριανὲ μάκαρ, καὶ παρθένων καύχημα, ὢ Ἰουστίνα σεμνή· χαίρετε μανίας δαιμόνων, οἱ ὀλοθρευταὶ καὶ διῶκται, καὶ τῶν εὐσεβούντων ἀντιλήπτορες.

**Τ**αύτην τὴν σεπτὴν ὑμῶν Μονήν, νεύσει θεϊκῇ ἱδρυθεῖσαν, ἀπαύστως σκέπετε, καὶ τοὺς μετὰ πίστεως, προσερχομένους αὐτῇ, συνοχῆς καὶ κακώσεως, πονηρῶν πνευμάτων, ταῖς ὑμῶν δεήσεσι, λυτροῦσθε Ἅγιοι, χάριν δὲ ἡμῖν χορηγεῖτε, ὢ Κυπριανὲ θεηγόρε, σὺν τῇ Ἰουστίνῃ τῇ θεόφρονι.

Δόξα. Ἦχος δ'.

**Ἀ**ποθέμενος τὰ ἔργα τοῦ σκότους, ἐνεργείᾳ κρείττονι, τὴν θείαν ἠλλοιώθης ἀλλοίωσιν, Κυπριανὲ παμμάκαρ· καὶ υἱὸς φωτὸς γεγονώς, τὸν τοῦ σκότους προστάτην ἐθριάμβευσας, ἀποστολικῇ πολιτείᾳ, καὶ τῇ ἐκχύσει τοῦ αἵματος. Ἀλλ' ὡς τὸν Χριστὸν δοξάσας, σὺν Ἰουστίνῃ τῇ θεολήπτῳ παρθένῳ, ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

**Ἐ**κ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Σ τ ί χ ο ν , Στιχηρὰ Προσόμοια.

Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

**Ἄ**νωθεν προσκληθείς, ὥσπερ ὁ μέγας Παῦλος, Κυπριανὲ θεόφρον, τῆς Ἐκκλησίας ὤφθης, ἀρχιερεὺς θεόληπτος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

**Ἔ**ρωτι τοῦ Χριστοῦ, τρωθεῖσα Ἰουστίνα, μαρτυρικοῖς ἀγῶσιν, ἀθλήσασα νομίμως, τὴν κλῆσιν σου ἐλάμπρυνας.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

**Ἔ**φοροι καὶ φρουροί, ὑμῶν τῆς θείας Μάνδρας, Κυπριανὲ παμμάκαρ, ὁμοῦ καὶ Ἰουστίνα, ὡς ἀληθῶς ἐδείχθητε.

Δόξα. Τριαδικόν.

**Μ**όνε Παμβασιλεῦ, Τριὰς Ὑπεραγία, Κυπριανοῦ πρεσβείαις, ὁμοῦ καὶ Ἰουστίνης, ἐλέησον τὸν κόσμον σου.

Καὶ νῦν. Θεοτοκίον.

**Δ**ύναμιν ἀληθῆ, ἐκ σοῦ ἡ Ἰουστίνα, λαβοῦσα, ὦ Παρθένε, καθεῖλε τοῦ Βελίαρ, πάντα τὰ μηχανήματα.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ

Ἀπολυτίκιον. Ἦχος γ'. Θείας πίστεως.

**Θ**είου Πνεύματος, τῇ χορηγίᾳ, φῶς προσέλαβες, θεογνωσίας, Κυπριανὲ καταισχύνας τὸν δράκοντα· καὶ μαρτυρίου τὸν δρόμον διήνυσας, σὺν Ἰουστίνῃ ὁμοῦ τῇ θεόφρονι· μεθ' ἧς πρέσβευε, Τριάδι τῇ πανοικτίρμονι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

**Σ**ὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Ἀπόλυσις

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ Ἱερεύς: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ………

Ὁ Προεστώς ἤ ὁ Ἀναγνώστης: Ἀμήν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

### Ψαλμὸς ργ΄ (103)

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον· Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ὁ Ἱερεύς: Τά «Εἰρηνικά»

καί τήν ἐκφώνησιν: Ὅτι πρέπει σοι, πᾶσα δόξα,….

Ὁ Χορός: Ἦχος δ'

Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου, εἰσάκουσόν μου, Κύριε. Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σὲ· εἰσάκουσόν μου, Κύριε.

Κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου· ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινὴ· εἰσάκουσόν μου, Κύριε.

Στίχ. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε τὶς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμὸς ἐστιν.

Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσιν.

Ὡς ἀστὴρ φαεινότατος, ἐκ νυκτὸς ἀνατέταλκας, ἀγνωσίας ἔνδοξε Θείῳ Πνεύματι· ἐξ οὐρανοῦ ὡς ὁ Παῦλος γάρ, τὴν κλῆσιν δεξάμενος, πειραθεὶς τῆς τοῦ ἐχθροῦ, ἀσθενείας δεήσεσι, τῆς θεόφρονος, Ἰουστίνης· μεθ' ἧς καὶ τῆς ἀφθάρτου, ἠξιώθης εὐκληρίας, Κυπριανὲ ἱερώτατε.

Στίχ. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

Ὡς διέγνως τὴν δύναμιν, ἀπρακτοῦσαν ἐν ἅπασι, μαγικοῖς τεχνάσμασι τοῦ ἀλάστορος, Χριστῷ προσῆλθες θερμότατα, καὶ τούτου τοῖς ἴχνεσιν, ἠκολούθησας σαφῶς, καὶ ποιμὴν καὶ διδάσκαλος ἐνθεώτατος, τῆς αὐτοῦ Ἐκκλησίας ἀνεδείχθης, καὶ ἐνήθλησας νομίμως, Κυπριανὲ παμμακάριστε.

Στίχ. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας, ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Παρθενίαν ἀμόλυντον, κεκτημένη πανεύφημε, τοῦ Βελίαρ ᾔσχυνας τὰ σοφίσματα, καὶ τῷ Σωτῆρι νενύμφευσαι, δεσμοῖς θείας πίστεως, τῷ κλεινῷ Κυπριανῷ, συνδεθεῖσα καὶ ἤνυσας τῆς ἀθλήσεως, σὺν αὐτῷ Ἰουστίνα μακαρία, στερροτάτῃ διανοίᾳ, τὸν θεῖον δρόμον καὶ κάλλιστον.

Στίχ. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις· καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Ἀνενδότῳ φρονήματι, ἀνδρικῶς ἠγωνίσασθε, μαρτυρίου σκάμμασι διαπρέψαντες, Κυπριανὲ ἱερώτατε, ἔχων συνακόλουθον, Ἰουστίναν τὴν σεμνήν, καὶ τμηθέντες ἀνήλθετε, εἰς οὐράνια, τῶν πταισμάτων ἡμῖν αἰτοῦντες λύσιν, καὶ παντοίας ἐπηρείας, δαιμονικῆς ἀπολύτρωσιν.

Στίχ. Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί.

Ἱεράρχης θεόσοφος, λαμπρυνθεὶς θείῳ Πνεύματι, καὶ βίου ὀρθότητος ὑποτύπωσις, Κυπριανὲ ἐχρημάτισας, ὡς ζήλου ἀνάπλεως, Ἀποστόλων τοῦ Χριστοῦ· καὶ ἁγνείας ἀλάβαστρον, θείῳ ἔρωτι, Ἰουστίνα θεόφρον ἀνεδείχθης, μαρτυρίου τοῖς ἀγῶσι, Χριστὸν ὁμοῦ μεγαλύναντες.

Στίχ. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

Ὡς λαβόντες ἐξαίρετον, ἐξουσίαν καὶ δύναμιν, λύειν τοῦ ἀλάστορος τὰ τεχνάσματα, τῆς τούτου βλάβης λυτρώσασθε, τοὺς πίστει προστρέχοντας, ἀντιλήψεσιν ὑμῶν, καὶ ἐκ πάσης κακώσεως, συντηρήσατε, ἀσινῆ τὴν ἁγίαν ὑμῶν Μάνδραν, σὺν τῇ θείᾳ Ἰουστίνῃ, Κυπριανὲ παναοίδιμε.

Δόξα. Ἦχος πλ. β'.

Σήμερον ὡς δίφωτος λαμπὰς ἐξέλαμψαν, τῇ ἐτησίῳ αὐτῶν μνήμῃ, Κυπριανὸς ὁ θεόσοφος, καὶ Ἰουστίνα ἡ θεόφρων, τὴν Ἐκκλησίαν λαμπρύνοντες· τοῦ τρισηλίου γὰρ φωτός, τὰς ἀκτῖνας δεχόμενοι, σκότος παθῶν λύουσι, καὶ τῷ Σωτῆρι οἰκειοῦνται, τοὺς βοῶντας αὐτοῖς· χαίροις ὁ τῇ ἄνωθεν προνοίᾳ τελεσθείς, καὶ μαρτυρικῶς τὸν βίον σφραγίσας, Κυπριανὲ Ἱερομάρτυς· χαίροις ἡ τῆς παρθενίας τὸν χιτῶνα, αἵματι οἰκείῳ πορφυρώσασα, ὡς ἁγνὴ παρθένος, καλλιμάρτυς Ἰουστίνα· χαίροις δυὰς ὑπέρτιμε, τῶν εὐσεβῶν προστάται, καὶ μεσῖται πρὸς Κύριον, καὶ πονηρῶν πνευμάτων, ἰσχυρότατοι διῶκται. Ἀλλ' ὡς ἔχοντες παρρησίαν, τῇ Ὑπερθέῳ Τριάδι πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; Τίς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς Μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς· φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, Σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος.

Ὁ Ἱερεύς: Σοφία Ὀρθοί !

Φῶς ἱλαρὸν ἁγίας δόξης, ἀθανάτου Πατρός, οὐρανίου, ἁγίου, μάκαρος, Ἰησοῦ Χριστέ, ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινόν, ὑμνοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς,

ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· Διὸ ὁ κόσμος σὲ δοξάζει.

Ὁ Ἱερεύς: Ἑσπέρας προκείμενον.

Ὁ Χορός: τό Προκείμενον τῆς ἡμέρας:

Τῇ Κυριακῇ ἑσπέρας Ἦχος πλ. δ'

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου.

Στίχ. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Τῇ Δευτέρᾳ ἑσπέρας Ἦχος δ'

Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.

Στίχ. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεός τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με.

Τῇ Τρίτῃ ἑσπέρας Ἦχος α'

Τὸ ἔλεός σου, Κύριε, καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Στίχ. Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν.

Τῇ Τετάρτῃ ἑσπέρας Ἦχος πλ. α'

Ὁ Θεός, ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με.

Στίχ. Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τά ῥήματα τοῦ στόματός μου.

Τῇ Πέμπτῃ ἑσπέρας Ἦχος πλ. β'

Ἡ βοήθειά μου παρὰ Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Στίχ. Ἦρα τούς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τῇ Παρασκευῇ ἑσπέρας Ἦχος βαρὺς

Ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ, τὸ ἔλεός σου προφθάσει με.

Στίχ. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καί ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμέ λύτρωσαί με.

Τῷ Σαββάτῳ ἑσπέρας Ἦχος πλ. β'

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.

Στίχ: Ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο.

Στίχ: Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Ὁ Ἀναγνώστης τά: Ἀναγνώσματα

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα. (Κεφ. μγ', 1, 9-14)

Οὕτως λέγει Κύριος ὁ Θεός· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ Μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὅν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ

συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδησα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τὶς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. γ', 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. ε', 15 - στ', 3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου, ὅς ἐξετάσει ὑμῶν τὰ ἔργα καὶ τὰς βουλὰς διερευνήσει.

Ὁ Διάκονος: Τήν «Ἐκτενῆ»: Εἴπωμεν πάντες......

Ὁ Ἱερεύς τήν ἐκφώνησιν: **Ὅ**τι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς,….
Ὁ Προεστώς ἤ ὁ Ἀναγνώστης:

**Κ**αταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισον μὲ τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος τά «Πληρωτικά»: **Π**ληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ….
Ὁ Ἱερεὺς τήν ἐκφώνησιν: **Ε**ἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον…..

❖❄✞❄❖

## Εἰς τὴν Λ ι τ ή ν , Στιχηρὰ Ἰδιόμελα.

### Ἦχος α'.

**Ε**ὐφραίνου ἐν Κυρίῳ ἡ Ἐκκλησία τοῦ Θεοῦ, Κυπριανὸν τὸν θεόσοφον, καὶ Ἰουστίναν τὴν μακαρίαν, συμφώνως μακαρίζουσα, ὡς τῶν πιστῶν ἀρωγούς, καὶ πρὸς Χριστὸν θερμοὺς μεσίτας· ἐπαξίως γὰρ τῆς κλήσεως, ἐπεδείξαντο τρόπον, καὶ θαυμαστῶς ἐδοξάσθησαν, τῇ χορηγίᾳ τοῦ Πνεύματος· ἔνθεν πνευμάτων ἀκαθάρτων, ἀπελαύνουσι ῥύμην, καὶ μαγειῶν τερατείας λύουσι, τῇ δεδομένῃ χάριτι, καὶ πᾶσιν αἰτοῦνται, ἱλασμὸν παρὰ Θεοῦ, καὶ εἰρήνην ἀστασίαστον, καὶ τὸ θεῖον καὶ μέγα ἔλεος.

### Ἦχος β'.

**Τ**ὴν μαγικὴν ἀποθέμενος πλάνην, τὴν εὐαγγελικὴν σοφίαν μεμύησαι, ἀλλοιωθεὶς θείῳ Πνεύματι, Κυπριανὲ μακάριε· καὶ τῶν ἀρρήτων μύστης, καὶ οἰκονόμος τῆς χάριτος, ὡς καθαρθεὶς τῇ καρδίᾳ γενόμενος, ἐν Ἱεράρχοις περίβλεπτος, ὡς πλήρης θείας ἐλλάμψεως ὤφθης· νεκρωθεὶς γὰρ τοῖς ἐν κόσμῳ, τὴν ἐν Χριστῷ ζωὴν ἔζησας, ὡς ὁ θεῖος Παῦλος· καὶ τὰ στίγματα αὐτοῦ, τῷ σώματι βαστάσας, οἰκείοις αἵμασιν ἔσβεσας, τῆς ἀπάτης τὴν φλόγα. Ἀλλ' ὦ Ἱερομάρτυς ἔνδοξε, ἀδιαλείπτως πρέσβευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Ἦχος γ'.

**Ἱ**εραρχικὴν ἐνδεδυμένος στολήν, λόγῳ καὶ ἔργῳ καὶ σοφίᾳ, καὶ ποικίλαις ἀρεταῖς, τὸ τοῦ Σωτῆρος ἱερούργησας, Εὐαγγέλιον μακάριε· ἐκ ματαίας γὰρ ἀναστροφῆς, σκεῦος εὔχρηστον πέφηνας, εἰς ὑπουργίαν θείαν, δι' Ἰουστίνης τῆς θεόφρονος· καὶ καλῶς ποιμάνας, τὸν περιούσιον λαὸν τοῦ Θεοῦ, πολλοὺς προσήγαγες Κυρίῳ, σεσωσμένους τῷ λόγῳ σου, καὶ τῷ οἰκείῳ ὑποδείγματι· καὶ ἀθλητικὸν ἀνύσας στάδιον, σὺν τῇ καλλιπαρθένῳ Ἰουστίνῃ, ὡς θύματα ἄμωμα, Χριστῷ προσήχθητε, καταπαλαίσαντες τὸν

τύραννον. Ἀλλ' ὡς τῆς ἄνω δόξης κοινωνοί, Κυρίῳ πρεσβεύσατε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ'.

Τῶν τοῦ ἐχθροῦ μεθοδειῶν περιγενόμενοι, ὑπεροψίᾳ γεηρῶν, καὶ περιουσίᾳ πίστεως, καὶ πλούτῳ θείας χάριτος, τῆς μανίας αὐτοῦ ἀπαλλάσσετε, τοὺς τῇ πρεσβείᾳ ὑμῶν σπεύδοντας, Κυπριανὲ καὶ Ἰουστίνα ἔνδοξοι. Ὅθεν τὴν Μονὴν ὑμῶν, ἰατρεῖον ψυχῶν καὶ σωμάτων ἐδείξατε, ἀοράτοις ὑμῶν ἐπισκέψεσι· τοὺς γὰρ δεινῶς συνεχομένους, τῇ τοῦ Βελίαρ κακίᾳ, λυτροῦσθε τῆς μάστιγος, εὐφροσύνην καὶ χαρὰν καὶ ὑγείαν βραβεύοντες· ἔνθεν ὡς ἑτοίμους βοηθούς, καὶ εὐεργέτας συμπαθεῖς, ὑμᾶς γεραίρομεν, δοξάζοντες Χριστόν, τὸν ὑμᾶς δοξάσαντα.

Δόξα... Ἦχος δ'

Τὸν ἐν Ἱεράρχαις ἀθλητήν, ὡς τῆς εὐσεβείας μυσταγωγὸν καὶ ὑπέρμαχον, Κυπριανὸν τὸν μέγαν, ἐν ὕμνοις τιμήσωμεν, σὺν τούτῳ γεραίροντες, Ἰουστίναν τὴν παρθένον, τὴν τοῦ ἐχθροῦ τὰς παγίδας συντρίψασαν· τὸν γὰρ Σταυρὸν τοῦ Χριστοῦ ἀράμενοι, τοῖς ἴχνεσιν αὐτοῦ ἐπορεύθησαν, θεολήπτῳ γνώμῃ, καὶ ὁλοτρόπῳ σπουδῇ· καὶ ὁ μὲν ἀμέμπτως ἱεράτευσε, τῷ Θεῷ τῶν ὅλων, ἡ δὲ μυστικῶς νενύμφευται, τῷ Νυμφίῳ τῶν ψυχῶν· Ὧ καὶ προσήγαγον ἀμφότεροι, τὴν τοῦ αἵματος ἔκχυσιν, ὡς προσφορὰν τελείαν, πρεσβεύοντες ἀπαύστως, ῥύεσθαι ἡμᾶς πάσης θλίψεως.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος δ'

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε· ἵνα Σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

❖❃✠❃❖

Εἰς τὸν Σ τ ί χ ο ν , Στιχηρὰ Προσόμοια.

Ἦχος πλ α'. Χαίροις ἀσκητικῶν.

Χαίροις Κυπριανὲ ἱερέ, ἱερωσύνης ἱερᾶς ὑποτύπωσις· ὁ πλάνην λιπὼν πατρῴαν, καὶ ἀπὸ μάγων ὀφθείς, τοῦ Εὐαγγελίου μύστης ἔνθεος· ἐντεῦθεν ἐποίμανας, εὐσεβείας τοῖς δόγμασιν, ὡς Ἱεράρχης, ἱερὸς καὶ θεόσοφος, τὴν ἀπόλεκτον, τοῦ Χριστοῦ ποίμνην Ὅσιε. Ὅθεν καὶ τὴν εὐσέβειαν, κρατύνων τοῖς πέρασιν, ἀθλητικῶς ἠγωνίσω, καταβαλὼν τὸν πολέμιον. Καὶ νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Χαίροις Παρθενομάρτυς Χριστοῦ, τῆς παρθενίας ὁ λειμὼν ὁ μυρίπνοος, θεόληπτε Ἰουστίνα, ἡ τὴν μανίαν ἐχθροῦ, τοῦ Σταυροῦ τῷ ὅπλῳ καταισχύνασα· ἐντεῦθεν ἐγνώρισε, τὴν ἀπάτην τοῦ ὄφεος, γνώμῃ εὐθείᾳ, καὶ Χριστῷ προσελήλυθε, μετὰ πίστεως, ὡς ἀρνίον πραότατον, πρώην ὁ ἀντικείμενος, τῷ λόγῳ τῆς χάριτος, Κυπριανὸς ὁ Θεόφρων, μεθ' οὗ καὶ

χαίρουσα ἤθλησας. Καὶ νῦν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

**Χ**αίροις Κυπριανὲ ἱερέ, καὶ Ἰουστίνα τοῦ Χριστοῦ νύμφη ἄφθορε, προστάται καὶ πολιοῦχοι, ὑμῶν τῆς θείας Μονῆς, τῆς ἀνακειμένης ὑμῖν πάντοτε· ὑμῶν τῇ πρεσβείᾳ γάρ, πάσης θλίψεως ῥύεται, καὶ τοὺς ἐν ταύτῃ, προσιόντας ἑκάστοτε, πληροῖ χάριτος, ταῖς ὑμῶν παρακλήσεσιν· ἔνθεν ὑμᾶς γεραίρουσα, δοξάζει τὸν Κύριον, Τὸν δι' ὑμῶν χορηγοῦντα, τοῖς ἀσθενοῦσι τὴν ἴασιν. Αὐτὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ θεῖον ἔλεος.

Δόξα. Ἦχος πλ. δ'.

**Ὑ**περφρονήσας τῶν φθαρτῶν, τῇ ἐπιγνώσει τοῦ κρείττονος, ᾠκειώθης Κυρίῳ, Κυπριανὲ ἱερώτατε· Ἰουστίναν γὰρ τὴν πάνσεμνον, βουληθεὶς χειρώσασθαι, τῆς ἐν Χριστῷ ἐλευθερίας, ἔγνως τὴν ἀλήθειαν, καὶ σεαυτὸν ὑπέταξας, τῷ λόγῳ τῆς πίστεως· καὶ ἀποστολικὸν ἐπιδειξάμενος ζῆλον, μαρτυρικῶν ἐπάθλων ἠξίωσαι, ὑπὲρ ἡμῶν δεόμενος, τῶν προσιόντων τῇ πρεσβείᾳ σου.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

**Δ**έσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ὁ Προεστὼς ἢ ὁ Ἱερεὺς: **Ν**ῦν ἀπολύεις τον δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου…

Ὁ Ἀναγνώστης: **Ἅ**γιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (γ')

Δόξα ... Καὶ νῦν...

**Π**αναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα ... Καὶ νῦν...

**Π**άτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεὺς: **Ὅ**τι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις ….

Ὁ χορὸς: **Ἀ**μήν.

Ἀπολυτίκια.

Ἦχος γ'. Θείας πίστεως.

**Θ**είου Πνεύματος, τῇ χορηγίᾳ, φῶς προσέλαβες, θεογνωσίας, Κυπριανὲ καταισχύνας τὸν δράκοντα· καὶ μαρτυρίου τὸν δρόμον διήνυσας, σὺν

Ἰουστίνῃ ὁμοῦ τῇ θεόφρονι· μεθ' ἧς πρέσβευε, Τριάδι τῇ πανοικτίρμονι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα... Ἕτερον. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

**Ἐ**πιστρέψας ἐκ πλάνης πρὸς τὴν εὐσέβειαν, Κυπριανὲ θεοφάντορ τῆς Ἐκκλησίας Χριστοῦ, Ἱεράρχης καὶ σοφὸς ποιμὴν γεγένησαι, καὶ ἀθλήσας ἀνδρικῶς, σὺν Ἰουστίνῃ τῇ σεμνῇ, καθείλετε τὴν ἀπάτην· μεθ' ἧς Χριστὸν ἐκδυσώπει, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

**Χ**αῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ· χαῖρε ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκί, τὸν ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,...

Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις Ὅτι πρέπει σοι πᾶσα δόξα...

**Θ**εὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α'. **Ἐ**ξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Στίχ. β'. **Π**άντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς,

Στίχ. γ'. **Π**αρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Ἀπολυτίκια.

Ἦχος γ'. Θείας πίστεως.

**Θ**είου Πνεύματος, τῇ χορηγίᾳ, φῶς προσέλαβες, θεογνωσίας, Κυπριανὲ καταισχύνας τὸν δράκοντα· καὶ μαρτυρίου τὸν δρόμον διήνυσας, σὺν Ἰουστίνῃ ὁμοῦ τῇ θεόφρονι· μεθ' ἧς πρέσβευε, Τριάδι τῇ πανοικτίρμονι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα... Ἕτερον. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

**Ἐ**πιστρέψας ἐκ πλάνης πρὸς τὴν εὐσέβειαν, Κυπριανὲ θεοφάντορ τῆς Ἐκκλησίας Χριστοῦ, Ἱεράρχης καὶ σοφὸς ποιμὴν γεγένησαι, καὶ ἀθλήσας ἀνδρικῶς, σὺν Ἰουστίνῃ τῇ σεμνῇ, καθείλετε τὴν ἀπάτην· μεθ' ἧς Χριστὸν ἐκδυσώπει, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

**Χ**αῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ· χαῖρε ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκί, τὸν ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις *Ὅτι σὸν τὸ κράτος...*

Καθίσματα

Μετὰ τὴν α' Στιχολογίαν

Ἦχος α'. Τὸν Τάφον Σου Σωτήρ.

**Ὡ**ς ἄστρον παμφαές, ἐκ νυκτὸς ἀγνωσίας, ἀνέλαμψας ἡμῖν, καταλείψας τὴν πλάνην, καὶ σκεῦος πολυτίμητον, ἐπιπνοίας τῆς ἄνωθεν, ἐχρημάτισας, Κυπριανὲ θεηγόρε· ὅθεν ἅπαντες, σὺν τῇ σεμνῇ Ἰουστίνῃ, τιμῶμεν σε Ἅγιε.

Δόξα. Τὸ αὐτό.

Καὶ νῦν. Θεοτοκίον.

**Τ**ῷ πόθῳ τοῦ ἐκ σοῦ, προελθόντος ἀφράστως, τρωθεῖσα τὴν ψυχήν, ἡ σεμνὴ Ἰουστίνα, ὀπίσω σου Πανάχραντε, ψαλμικῶς ἠκολούθησε, καὶ ἀθλήσασα, τοῦ οὐρανίου νυμφῶνος, κατηξίωται, σὺν ταῖς φρονίμοις παρθένοις, ὑμνοῦσα τὴν δόξαν σου.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Δεσμοῖς θείας πίστεως, Κυπριανὸς ὁ σοφός, συνδέεται χάριτι, τῇ Ἰουστίνῃ πιστῶς, ὡς ἔγνω τὸν Κύριον· ταύτην δὲ ἐν τῷ βίῳ, συνακόλουθον ἔχων, ᾔσχυνεν ἐν τοῖς ἄθλοις, μετ' αὐτῆς τὸν Βελίαρ· καὶ νῦν τῆς ἄνω δόξης, ὁμοῦ κατηξιώθησαν.

Δόξα. Τὸ αὐτό.

Καὶ νῦν. Θεοτοκίον.

Χριστὸν σωματώσασα, τὸν ἐπὶ πάντων Θεόν, ἐθέωσας Ἄχραντε, τῶν γηγενῶν τὴν θνητήν, οὐσίαν τῷ τόκῳ σου· ὅθεν καὶ Ἰουστίνα, ἡ θεόληπτος κόρη, ἤθλησεν ἀνενδότως, τῇ αὐτοῦ ἀγαπήσει. Καὶ νῦν θεογεννῆτορ, τῆς δόξης αὐτοῦ ἔτυχε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Μαγικὴν τερατείαν λιπὼν μακάριε, Εὐαγγελίου τῷ λόγῳ τὸν νοῦν ὑπέταξας, καὶ ἐπλήσθης δωρεῶν τῶν ὑπὲρ ἔννοιαν, ὡς Ἀποστόλων μιμητής, καὶ σοφὸς ἱερουργός, Κυπριανὲ θεοφάντορ· καὶ νῦν Χριστὸν ἐκδυσώπει, σὺν Ἰουστίνῃ ἡμᾶς σώζεσθαι.

Δόξα. Τὸ αὐτό.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν Ἁγνὴν Θεοτόκον καὶ θεομήτορα, Ἰουστίνα ἡ Μάρτυς προστάτιν ἔχουσα, κατεπάλαισεν ἐχθροῦ τὰ μηχανήματα, καὶ προσενήνεκται Χριστῷ, ἐναθλήσασα στερρῶς, ὡς ἄμωμον ἱερεῖον, διὰ παντὸς δυσωποῦσα, ἡμῖν διδόναι θεῖον ἔλεος.

Τὸ α' Ἀντίφωνον τοῦ δ' Ἤχου.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου.(δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου, ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. (δίς)

Δόξα Πατρί...

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ τριαδικῇ Μονάδι ἱεροκρυφίως.

Καὶ νῦν...

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον, Ἦχος δ'.

Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ λαοί.

## ΤΑΞΙΣ ΕΥΑΓΓΕΛΙΟΥ ΤΟΥ ΟΡΘΡΟΥ

**Π**ᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

**Π**ᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

**Α**ἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

Εὐαγγέλιον τὸ εἰς Ἱεράρχας·

(βλέπε Νοεμ. ΙΓ',τῆς Θ. Λειτουργίας: Ἰωάν., ι', 9-16).

Καὶ εὐθὺς ὁ Ν' ψαλμὸς (χύμα)

**Ἐ**λέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἐλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. **Ἐ**πὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. **Ὅ**τι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς. **Σ**οὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. **Ἰ**δοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. **Ἰ**δοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. **Ῥ**αντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. **Ἀ**κουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. **Ἀ**πόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. **Κ**αρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. **Μ**ὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. **Ἀ**πόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. **Δ**ιδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. **Ῥ**ῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. **Κ**ύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. **Ὅ**τι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. **Θ**υσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. **Ἀ**γάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. **Τ**ότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα. **Τ**ότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα... Ἦχος β'

**Τ**αῖς τῶν σῶν Μαρτύρων πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

**Τ**αῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. **Ἐ**λέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Εἶτα τὸ Ἰδιόμελον. Ἦχος πλ. β'.

Τὴν μαγικὴν ἀποβαλὼν ἀπάτην, τῆς θεϊκῆς εὐσπλαγχνίας, ἀνεδείχθης μυσταγωγός, Κυπριανὲ Πατὴρ ἡμῶν· καὶ ταῖς ἀρεταῖς λαμπρύνας τὴν ζωήν, περιφανὴς ἐν Ἱεράρχαις ὤφθης, καὶ ἐν ἀθλήσει ἀήττητος, τῆς εὐσεβείας ὁμολογήσας τὸ μυστήριον· καὶ δι' ἀμφοτέρων Χριστὸν δοξάσας, τῆς αἰωνίου δόξης ἠξίωσαι, σὺν Ἰουστίνῃ τῇ μακαρίᾳ. Σὺν αὐτῇ οὖν πρέσβευε, ῥύεσθαι ἡμᾶς, μαγικῶν τεχνασμάτων, καὶ συνοχῆς πονηρᾶς, καὶ πάσης δαιμονικῆς ἐπιθέσεως.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...Ἐλέει καὶ οἰκτιρμοῖς...

Εἶτα οἱ Κανόνες·

Ὁ Κανών τῆς Θεοτόκου

(Μικρός Παρακλητικός Κανών)

Ὠδὴ α' Ἦχος πλ. δ' Ὁ Εἱρμὸς

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα· τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν. (δίς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν. Ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Παθῶν μὲ ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν. Εἰρήνευσον, Κόρη, τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου, Πανάμωμε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ, Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον, μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

Κανὼν τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς·

«Κυπριανῷ σὺν Ἰουστίνῃ ᾆσμα. Γερασίμου.»

Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Κυρίων τὸν Κύριον, καὶ Βασιλέα τῆς κτίσεως, Χριστὸν καθικέτευε, Κυπριανὲ ἱερέ, λόγον δοῦναί μοι, ὁμοῦ σὺν Ἰουστίνῃ, ὑμνῆσαι τὰ σκάμματα, ὑμῶν μακάριοι.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ὑπῆρξας τὸ πρότερον, τῆς δυσσεβείας συνήγορος, ἀλλ' ὕστερον γέγονας, ἀλλοιωθεὶς μυστικῶς, θείῳ Πνεύματι, Κυπριανὲ παμμάκαρ, Χριστοῦ τοῦ Παντάνακτος, μύστης θερμότατος.

Δόξα…

Πρὸς γνῶσιν σωτήριον, δι' Ἰουστίνης ὡδήγησαι, ὡς ἔγνωκας ἄπρακτον, τὴν τοῦ Βελίαρ ἰσχύν, καὶ ἀπείληφας, Κυπριανὲ πλουσίως, τὴν χάριν τοῦ Πνεύματος, βίου λαμπρότητι.

Καὶ νῦν..Θεοτοκίον.

Ρυσθεῖσα Πανάχραντε, ἐπιβουλῆς τοῦ ἀλάστορος, τῇ σῇ θείᾳ χάριτι, ἡ Ἰουστίνα ἁγνή, τὴν σὴν ἄμαχον, ἀνύμνει προστασίαν, καὶ χαίρουσα ἤθλησεν, ἐνθέῳ ἔρωτι.

Ὁ Κανὼν τῆς Θεοτόκου

Ὠδὴ γ' Ὁ Εἱρμὸς

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε. (δίς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, Σέ Θεογεννῆτορ Παρθένε, σὺ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ἱκετεύω, Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην, διασκεδάσαι μου· σὺ γάρ, Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη πανάχραντε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχῦϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Χαλεπαῖς ἀρρωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ, Παρθένε, σὺ μοι βοήθησον· τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σὲ γινώσκω, θησαυρόν, Πανάμωμε, τὸν ἀδαπάνητον.

Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἰλύος παθῶν κεκαθαρμένος, ἑνώσει τοῦ κρείττονος σοφέ, ἐδέξω φῶς τὸ ἄϋλον, καὶ Ἱεράρχης ὅσιος, Κυπριανὲ μακάριε, τῆς Ἐκκλησίας γεγένησαι.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἀθλήσας ὁμοῦ σὺν Ἰουστίνῃ, ὡς θύματα ἄμωμα Χριστῷ, Κυπριανὲ προσήχθητε, καὶ τοῖς οἰκείοις αἵμασι, τῶν εὐσεβῶν τὸ πλήρωμα, Πνεύματι θείῳ ἠρδεύσατε.

Δόξα…

Ναὸν καὶ Μονὴν ὑμῶν τὴν θείαν, λαμπρῶς ἁγιάζοντες σοφοί, ὑμῶν ταῖς ἐπισκέψεσι, τοὺς ἐν αὐτῇ προστρέχοντας, ταχέως ἀπαλλάττετε, δαιμονικῶν ἐπιθέσεων.

Καὶ νῦν..Θεοτοκίον.

Ὡς μήτηρ Θεοῦ τοῦ φιλανθρώπου, Παρθένε δεινῆς ἐπιβουλῆς, τὴν Ἰουστίναν ἔσωσας, προστρέξασαν τῇ σκέπῃ σου· διό σε μεγαλύνομεν, οἱ σεσωσμένοι τῷ τόκῳ σου.

Συναπτὴ μικρὰ μεθ' ἣν Ἐκφώνησις *Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...*

Κάθισμα.

Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐν τῇ πλάνῃ ὑπάρχων περιφανής, ὡς θεράπων μαγείας καὶ ὑπουργός, πολλῷ ὤφθης πλείονι, ἐν τῇ πίστει λαμπρότερος, κληθεὶς ὥσπερ ὁ Παῦλος, πρὸς γνῶσιν τὴν ἔνθεον, καὶ τούτῳ χρηματίσας, τοῦ ζήλου ὁμότροπος. Ὅθεν καὶ ἀθλήσας, στερροτάτῃ καρδίᾳ, τῆς ἄνω λαμπρότητος, ἐπαξίως μετέσχηκας, Κυπριανὲ ἀξιάγαστε· καὶ νῦν σὺν Ἰουστίνῃ σοφέ, τὸν Δεσπότην πάντων καθικέτευε, τοῦ διδόναι πταισμάτων, ἡμῖν τὴν συγχώρησιν.

Δόξα. Τὸ αὐτό.

Καὶ νῦν. Θεοτοκίον.

Τὸν Θεὸν τῶν ἁπάντων καὶ Ποιητήν, ἀπορρήτως κυήσασα ἐν σαρκί, φθορᾶς ἠλευθέρωσας, τὴν οὐσίαν τὴν βρότειον, καὶ τῆς ἀθανασίας, τὰ ῥεῖθρα ἀνέβλυσας, τοῖς σὲ ὡς Θεοτόκον, δοξάζουσι Πάναγνε. Ὅθεν ἀφθαρσίας, ἐκ φθορᾶς παθημάτων, ὁδόν με ὁδήγησον, τὴν ψυχήν μου καθαίρουσα, μολυσμῶν τῶν τοῦ σώματος, Παρθένε Θεομῆτορ Ἁγνή, ἵνα πίστει μεγαλύνω πάντοτε, τῆς σῆς κηδεμονίας, τὸν πλοῦτον Πανύμνητε.

Ὁ Κανὼν τῆς Θεοτόκου

Ὠδὴ δ' Ὁ Εἱρμὸς

Εἰσακήκοα, Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θεότητα. (δίς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων, Θεονύμφευτε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν εὔσπλαγχνον κυήσασα, καὶ Σωτῆρα πάντων, τῶν ὑμνούντων σε.

Δόξα...

Ἀπολαύοντες, Πάναγνε, τῶν σῶν δωρημάτων εὐχαριστήριον, ἀναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντές σε Θεομήτορα.

Καὶ νῦν...

Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε, Πανύμνητε, δυσχερείας πάσης, ἐκλυτρούμεθα.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Σοφιστείας τῆς μαγείας, νουνεχῶς ἐναπέρριψας, καὶ τῆς εὐσεβείας, Πάτερ ἐνεδύσω τὴν δύναμιν· ὅθεν ἡμᾶς μαγικοῦ παντὸς τεχνάσματος, ἀπολύτρωσαι, Κυπριανὲ τῇ σῇ χάριτι.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ὑπὲρ πᾶσαν τῶν γηΐνων, κοινωνίαν προέκρινας, τὴν Χριστοῦ ἀγάπην, καὶ τὴν μετ' αὐτοῦ θείαν ἕνωσιν, ὦ Ἰουστίνα καὶ χαίρουσα ἐνήθλησας· ὅθεν ἔτυχες, τῆς σῆς ἐφέσεως πάνσεμνε.

Δόξα…

Νεκρωθέντες τοῖς ἐν κόσμῳ ἀγαπήσει τῇ κρείττονι, ἀθανάτου δόξης, καὶ ὑπερκοσμίου λαμπρότητος, Κυπριανὲ Ἰουστίνα τε πανεύφημοι, ἠξιώθητε, καλῶς τὸν δρόμον τελέσαντες.

Καὶ νῦν. Θεοτοκίον.

Ἰησοῦν τὸν Ζωοδότην, καὶ Θεὸν πάσης κτίσεως, ὅλῃ διανοίᾳ, Κεχαριτωμένη Πανάμωμε, ἡ Ἰουστίνα ἡ Μάρτυς ἀγαπήσασα, ὤφθη σύσκηνος, τῶν οὐρανίων δυνάμεων.

Ὁ Κανὼν τῆς Θεοτόκου

Ὠδὴ ε' Ὁ Εἱρμὸς

Φώτισον ἡμᾶς, τοῖς προστάγμασί σου, Κύριε, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ, τὴν σὴν εἰρήνην, παράσχου ἡμῖν, φιλάνθρωπε. (δίς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ἔμπλησον, Ἁγνή, εὐφροσύνης τὴν καρδίαν μου, τὴν σὴν ἀκήρατον διδοῦσα χαράν, τῆς εὐφροσύνης, ἡ γεννήσασα τὸν αἴτιον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων, Θεοτόκε Ἁγνή, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην, τὴν πάντα νοῦν ὑπερέχουσαν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Λῦσον τὴν ἀχλύν, τῶν πταισμάτων μου, Θεόνυμφε, τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος, ἡ φῶς τεκοῦσα, τὸ θεῖον καὶ προαιώνιον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ἴασαι Ἁγνή, τῶν παθῶν μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν, τῇ πρεσβείᾳ σου παράσχου μοι.

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ὁ νοῦς σου πεπλήρωται, τῆς ὑπὲρ νοῦν ἐλλάμψεως· ἔνθεν εὐσεβείας ὤφθης στόμα, καὶ Ἐκκλησίας ὑφηγητὴς ἱερός, λόγῳ ἀληθεῖ Κυπριανέ, καὶ ἔργοις τῆς χάριτος, βεβαιῶν

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ὑψώθης τῷ πνεύματι, λιπὼν πλάνης τὸν σύνδεσμον, πρὸς ὑπερκοσμίους ἀναβάσεις, καὶ Ἰουστίναν τὴν ἐκλεκτὴν συνεργόν, ἔσχες ἀληθῶς Κυπριανέ, δρόμῳ τῷ τοῦ βίου σου, καὶ ἀθλήσεως σκάμμασι.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Σαρκὸς ἀρρωστήματα, καὶ ψυχικὰ νοσήματα, παύονται ὑμῶν ταῖς ἱκεσίαις, καὶ μαγγανεῖαι ἐχθροῦ ἐλαύνονται· ὅθεν ἡ σεπτὴ ὑμῶν Μονή, τῇ πλουσίᾳ χάριτι, ὑμῶν χαίρει μακάριοι.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Τεκοῦσα ἐν σώματι, τὸν ἐν μορφῇ ὑπάρχοντα, τοῦ Θεοῦ τῶν ὅλων οἷα λόγον, ἀναλλοιώτως ὑπὲρ κατάληψιν, τὴν ἀλλοιουμένην μου ψυχήν, πάθεσι τοῦ χείρονος, Θεοτόκε συνέτισον.

Ὁ Κανών τῆς Θεοτόκου

Ὠδὴ ς' Ὁ Εἱρμὸς

Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις, ὅτι κακῶν ἡ ψυχή μου ἐπλήσθη, καὶ ἡ ζωή μου τῷ Ἅιδη προσήγγισε, καὶ δέομαι ὡς Ἰωνᾶς· Ἐκ φθορᾶς, ὁ Θεὸς με ἀνάγαγε. (δίς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Θανάτου καὶ τῆς φθορᾶς ὡς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ καὶ θανάτῳ μου φύσιν, κατασχεθεῖσαν, Παρθένε, δυσώπησον, τὸν Κύριόν σου καὶ Υἱόν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Προστάτιν σὲ τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην, Παρθένε, τῶν πειρασμῶν διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν, καὶ δέομαι διά παντός, ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σὲ παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν ἐν ταῖς θλίψεσι, Κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα. Ὦ Δέσποινα, καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ἐν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τὴ σαρκί μου· ἀλλ' ἡ Θεὸν καὶ Σωτῆρα τοῦ κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, σοῦ δέομαι τῆς ἀγαθῆς, ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

Ὠδὴ ς'. Τὴν θείαν ταύτην.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἱεραρχίας τὸ ἔνδυμα, λαμπρότερον τελέσας τῷ αἵματι, τῷ τῆς ἀθλήσεως, Κυπριανὲ ἱερώτατε, πρὸς τὸν ναὸν τῆς ἄνω, δόξης ἀνέδραμες.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Νύμφη Χριστοῦ ὤφθης πάνσεμνε, στολὴν τῆς σῆς ἁγνείας φοινίξασα, οἰκείῳ αἵματι, ὦ Ἰουστίνα καὶ χαίρουσα, πρὸς τὸν νυμφῶνα ἤρθης, τὸν ἐπουράνιον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ἡ ξυνωρὶς ἡ πανθαύμαστος, ἡμῶν οἱ κηδεμόνες καὶ ἔφοροι, ἀνευφημείσθωσαν, Κυπριανὸς ὁ πανεύφημος, καὶ Ἰουστίνα ἅμα, ἡ καλλιπάρθενος.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ἀνερμηνεύτως κυήσασα, τὸν πάντα ἐκ μὴ ὄντων βουλήματι, καθυποστήσαντα, θεοχαρίτωτε Δέσποινα, τῆς θείας αὐτοῦ δόξης, ἡμᾶς ἀξίωσον.

Συναπτὴ μικρὰ μεθ' ἣν Ἐκφώνησις *Σὺ γὰρ εἶ ὁ βασιλεύς...*

Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ ἐκ τῆς πλάνης ὡς ἀστὴρ ἀναλάμψας, καὶ ἀπὸ μάγων ἱερὸς θεοφάντωρ, Κυπριανὸς ὁ μέγας ἀνυμνείσθω μοι· τούτῳ συντιμάσθω δέ, ἡ σεμνὴ Ἰουστίνα· ἅμα γὰρ συνήθλησαν, εὐσεβείας τὸ σκάμμα· καὶ νῦν ὁμοῦ πρεσβεύουσι Χριστῷ, ἡμῖν διδόναι, πταισμάτων συγχώρησιν.

Ὁ Οἶκος

Ὑποταχθεὶς ὁλοσχερῶς, τῆς πλάνης τῇ κακίᾳ, ἐν τῇ τοῦ βίου σου νυκτί, καὶ ζοφερᾷ πορείᾳ, εὗρες παραδόξως, Χριστὸν τὸν Ἥλιον τῆς δόξης, καλοῦντά σε ἐκ τῆς ματαίας ἀναστροφῆς, πρὸς τὸ φῶς τῆς ἀϊδίου ζωῆς, καὶ καθαρᾶς πολιτείας· καὶ ἀγρευθεὶς τῇ ἄνωθεν δυνάμει, ἀπέστης ἐκ τῶν βδελυκτῶν ἔργων τοῦ σκότους, ἰδὼν τὴν τοῦ Σατανᾶ ἀπρακτοῦσαν ἰσχύν, ἐν τῷ ἐκπειράζειν τὴν τιμίαν παρθένον, Ἰουστίναν τὴν ἔνδοξον· ἔνθεν ἀναγεννηθεὶς δι' ὕδατος καὶ Πνεύματος, καινὸς ἀντὶ παλαιοῦ γέγονας, Χριστὸν ὁλικῶς ἐνδυσάμενος· Ὢ πιστῶς ἱερατεύσας, ὡς ἀρχιερεὺς ὅσιος καὶ ἄκακος, μαρτυρικῶς πρὸς αὐτὸν ἐξεδήμησας, σὺν τῇ σεμνῇ Ἰουστίνῃ· μεθ' ἧς ἀεὶ πρέσβευε Χριστῷ, Κυπριανὲ παμμακάριστε, ἡμῖν διδόναι πταισμάτων συγχώρησιν.

Συναξάριον.

Τῇ Β' τοῦ μηνός Ὀκτωβρίου, Μνήμη τοῦ Ἁγίου ἐνδόξου Ἱερομάρτυρος Κυπριανοῦ, Ἐπισκόπου Ἀντιοχείας τῆς ἐν Πισιδίᾳ, καὶ τῆς Ἁγίας Παρθενομάρτυρος Ἰουστίνης.

Στίχοι

Ἀλγεῖ Σατανᾶς, τὸν πάλαι φίλον βλέπων,
Ξίφει φιλοῦντα συνθανεῖν Ἰουστίνῃ.
Τμήθη δευτερίῃ σὺν Ἰουστίνῃ Κυπριανός.

**Τ**ῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοφίλου τοῦ Ὁμολογητοῦ.

Στίχοι

Ἐναντίον μου σὴ τελευτὴ τιμία»,
Λέγει Θεὸς σοὶ τῷ φίλῳ Θεοφίλῳ.

**Ὁ** ἅγιος μάρτυς Γεώργιος, ὁ εἰς τὸ Καρατζασοῦ μαρτυρήσας ἐν ἔτει 1794, ξίφει τελειοῦται.

**Τ**αῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

## ΚΑΤΑΒΑΣΙΑΙ

### Ἦχος δ'. Ὠδὴ α'

**Ἀ**νοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

### Ὠδὴ γ'

**Τ**οὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθορος πηγή, θίασον συγκροτήσαντας πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ δόξῃ σου …….**σ**τεφάνων δόξης ἀξίωσον.

### Ὠδὴ δ'

**Τ**ὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης, Ἀββακούμ, κατανοῶν ἐκραύγαζε. Δόξα τῇ δυνάμει σου Κύριε.

### Ὠδὴ ε'

**Ἐ**ξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου, σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

### Ὠδὴ ς'

**Τ**ὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

### Ὠδὴ ζ'

**Ο**ὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον, Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

### Ὠδὴ η'

Στίχ. **Α**ἰνοῦμεν, εὐλογοῦμεν καί προσκυνοῦμεν τὸν Κύριον.

**Π**αῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ

Στίχ. **Μ**εγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

**Τ**ὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. **Ὅ**τι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Στίχ. **Ὅ**τι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Στίχ. **Ἐ**ποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Στίχ. **Κ**αθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Στίχ. **Ἀ**ντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Καταβασία

**Ἅ**πας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων Νόων, φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια, τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνή, ἀειπάρθενε.

Συναπτὴ μικρὰ μεθ' ἣν Ἐκφώνησις: **Ὅ**τι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

Ἐ ξ α π ο σ τ ε ι λ ά ρ ι ο ν .

Ἦχος β'. Τοῖς Μαθηταῖς συνέλθωμεν.

**Τ**ὸν φωτισμὸν τοῦ Πνεύματος, ὡς ἐδέξω ὑψόθεν, τῆς πλάνης τὴν σκοτόμαιναν, νουνεχῶς ἀπορρίπτεις, Κυπριανὲ Θεοφάντορ· Ἰουστίναν γὰρ Πάτερ, χειρώσασθαι πειρώμενος, δι' αὐτῆς ὡδηγήθης πρὸς τὸν Χριστόν, ἀπορρήτῳ τρόπῳ καὶ μαρτυρίου, ἠγώνισαι τὰ σκάμματα, σὺν αὐτῇ Ἱεράρχα.

Θεοτοκίον.

**Σ**ωματικῶς κυήσασα, τὸν Θεὸν τῶν ἁπάντων, τὴν τοῦ Ἀδὰμ κατάκρισιν, καὶ τῆς Εὔας τὴν λύπην, ἀνέτρεψας Θεοτόκε, καὶ πηγὴν εὐλογίας, ὡς ἀληθῶς ἀνέβλυσας, τοῖς ὑμνοῦσι Παρθένε θεοπρεπῶς, τὸ φρικτὸν μυστήριον τοῦ σοῦ τόκου, καὶ πίστει μεγαλύνουσι, τὴν σὴν ἄφραστον δόξαν.

ΑΙΝΟΙ

**Π**ᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τῆς μαγικῆς ἐξαπάτης γνοὺς τὴν ἀσθένειαν, Κυπριανὲ παμμάκαρ, τῷ Σωτῆρι προσῆλθες, καὶ τούτου ἐμυήθης τὴν πρὸς ἡμᾶς, ὑπὲρ νοῦν ἀγαθότητα· ὅθεν ἐπλήσθης χαρίτων ὑπερφυῶν, διὰ βίου καθαρότητος.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος , αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Τῆς παρθενίας τὸ ἄνθος τὸ εὐωδέστατον, τὴν νύμφην τοῦ Σωτῆρος, Ἰουστίναν τὴν θείαν, ᾠδαῖς ἐγκωμιάσωμεν ἱεραῖς, ὡς τὴν πλάνην πατήσασαν, καὶ τῷ Κυρίῳ πρεσβεύουσαν ἐκτενῶς, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Τὴν εὐκλεῆ ξυνωρίδα ὕμνοις τιμήσωμεν, Κυπριανὸν τὸν μέγαν, καὶ σοφὸν Ἱεράρχην, σὺν τούτῳ Ἰουστίναν τὴν θαυμαστήν, ὡς νομίμως ἀθλήσαντας, καὶ καταργοῦντας δαιμόνων πᾶσαν ἰσχύν, τῇ δοθείσῃ αὐτοῖς χάριτι.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ὡς παρρησίαν μεγίστην πρὸς τὸν Σωτῆρα Χριστόν, Κυπριανὲ παμμάκαρ, Ἰουστίνα τε ἅμα, πλουτοῦντες περιέπετε εἰσαεί, τὴν Μονὴν ὑμῶν Ἅγιοι, καὶ τοῖς προστρέχουσι ταύτῃ πίστει θερμῇ, χάριν δίδοσθε καὶ ἔλεος.

Δόξα. Ἦχος πλ. α'.

Τῆς εὐσεβείας τὸ φῶς, ἐν τῇ σκοτίᾳ τῆς πλάνης καταλάμψαν σε, Χριστοῦ θεράποντα ἔδειξε, καὶ λειτουργὸν θεόφρονα, Κυπριανὲ τὸν πρὶν διώκτην· μυστικῶς γὰρ ὁ Σωτήρ, δι' Ἰουστίνης τῆς πανσέπτου, ὡς τὸν μέγαν Παῦλον, πρὸς τὴν οἰκείαν γνῶσιν ἐκάλεσε· καὶ κατ' αὐτὸν διαπρέψας, ἀποστολικοῖς καμάτοις, Εὐαγγελίου τὸν λόγον ἐτράνωσας· καὶ σὺν αὐτῇ στερρῶς ἀθλήσας, τῶν οὐρανίων ἐπάθλων, ὁμοῦ ἠξιώθητε, ὑπὲρ ἡμῶν δυσωποῦντες, Τριάδα τὴν ὁμοούσιον.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. (τρίς)

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα' Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (τρίς)

Δόξα .... Καὶ νῦν .... Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

## Ἀπολυτίκιον

### Ἦχος γ'. Θείας πίστεως.

**Θ**είου Πνεύματος, τῇ χορηγίᾳ, φῶς προσέλαβες, θεογνωσίας, Κυπριανὲ καταισχύνας τὸν δράκοντα· καὶ μαρτυρίου τὸν δρόμον διήνυσας, σὺν Ἰουστίνῃ ὁμοῦ τῇ θεόφρονι· μεθ' ἧς πρέσβευε, Τριάδι τῇ πανοικτίρμονι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ἀντίφωνον Α'

Στίχ. α΄. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. β΄. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Στίχ. γ΄. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Δόξα Πατρὶ... Καὶ νῦν...

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Ἀντίφωνον Β'

Στίχ. α΄. Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι·

Ἀλληλούϊα.

Στίχ. β΄. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Στίχ. γ΄. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Δόξα... Καὶ νῦν καὶ ἀεὶ...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ'

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Ἦχος γ'. Θείας πίστεως.

Θείου Πνεύματος, τῇ χορηγίᾳ, φῶς προσέλαβες, θεογνωσίας, Κυπριανὲ καταισχύνας τὸν δράκοντα· καὶ μαρτυρίου τὸν δρόμον διήνυσας, σὺν Ἰουστίνῃ ὁμοῦ τῇ θεόφρονι· μεθ' ἧς πρέσβευε, Τριάδι τῇ πανοικτίρμονι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Εἰσοδικὸν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς......ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκια.

Ἦχος γ'. Θείας πίστεως.

Θείου Πνεύματος, τῇ χορηγίᾳ, φῶς προσέλαβες, θεογνωσίας, Κυπριανὲ καταισχύνας τὸν δράκοντα· καὶ μαρτυρίου τὸν δρόμον διήνυσας, σὺν Ἰουστίνῃ ὁμοῦ τῇ θεόφρονι· μεθ' ἧς πρέσβευε, Τριάδι τῇ πανοικτίρμονι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Ἐπιστρέψας ἐκ πλάνης πρὸς τὴν εὐσέβειαν, Κυπριανὲ θεοφάντορ τῆς Ἐκκλησίας Χριστοῦ, Ἱεράρχης καὶ σοφὸς ποιμὴν γεγένησαι, καὶ ἀθλήσας ἀνδρικῶς, σὺν Ἰουστίνῃ τῇ σεμνῇ, καθείλετε τὴν ἀπάτην· μεθ' ἧς Χριστὸν ἐκδυσώπει, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον τοῦ Ναοῦ

Κοντάκιον Ἦχος β'

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε. Μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

Ἀπόστολος (2α Οκτωβρίου)

Προκείμενον. Ἦχος βαρὺς

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ ἡμῖν;

Πρὸς Τιμόθεον Α᾽ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα (β' 12-17)

Τέκνον Τιμόθεε, χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς διακονίαν τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν· ἀλλ᾽ ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ, ὑπερεπλεόνασε δὲ ἡ χάρις τοῦ Κυρίου ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ. Πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ· ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ᾽ αὐτῷ εἰς ζωὴν αἰώνιον. Τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ, τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Κοινωνικόν: Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Χαίρετε δαιμόνων φυγαδευταί, Κυπριανὲ Πάτερ, Ἰουστίνα τε θαυμαστή· χαίρετε προστάται, ταύτης ὑμῶν τῆς Μάνδρας, καὶ πρὸς Χριστὸν μεσῖται, καὶ πρέσβεις ἄγρυπνοι.